ΚΥ. ἦ τῆς κακίστης οἳ μετήλθεθ᾽ ἁρπαγὰς
Ἑλένης Σκαμάνδρου γείτον᾽ Ἰλίου πόλιν;
ΟΔ. οὗτοι, πόνον τὸν δεινὸν ἐξηντληκότες.
ΚΥ. αἰσχρὸν στράτευμά γ᾽, οἵτινες μιᾶς χάριν
γυναικὸς ἐξεπλεύσατ᾽ εἰς γαῖαν Φρυγῶν.
ΟΔ. θεοῦ τὸ πρᾶγμα· μηδέν᾽ αἰτιῶ βροτῶν.
ἡμεῖς δέ σ᾽, ὦ θεοῦ ποντίου γενναῖε παῖ,
ἱκετεύομέν τε καὶ λέγομεν ἐλευθέρως·
μὴ τλῇς πρὸς ἄντρα σοὺς ἀφιγμένους φίλους
κτανεῖν βοράν τε δυσσεβῆ θέσθαι γνάθοις·
οἳ τὸν σόν, ὦναξ, πατέρ᾽ ἔχειν ναῶν ἕδρας
ἐρρυσάμεσθα γῆς ἐν Ἑλλάδος μυχοῖς.
ἱερός τ᾽ ἄθραυστος Ταινάρου μένει λιμὴν
Μαλέας τ᾽ ἄκροι κευθμῶνες ἥ τε Σουνίου
δίας Ἀθάνας σῶς ὑπάργυρος πέτρα
Γεραίστιοί τε καταφυγαί, τά θ᾽ Ἑλλάδος·
δύσφρονά γ᾽ ὀνείδη Φρυξὶν οὐκ ἐδώκαμεν·
ὧν καὶ σὺ κοινοῖ· γῆς γὰρ Ἑλλάδος μυχοὺς
οἰκεῖς ὑπ᾽ Αἴτνῃ, τῇ πυριστάκτῳ πέτρᾳ.
νόμος δὲ θνητοῖς, εἰ λόγους ἀποστρέφει,
ἱκέτας δέχεσθαι ποντίους ἐφθαρμένους
ξένιά τε δοῦναι καὶ πέπλοις ἐπαρκέσαι,
οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη
ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν.
ἅλις δὲ Πριάμου γαῖ᾽ ἐχήρωσ᾽ Ἑλλάδα,
πολλῶν νεκρῶν πιοῦσα δορυπετῆ φόνον,
ἀλόχους τ᾽ ἀνάνδρους γραῦς τ᾽ ἄπαιδας ὤλεσε
πολιούς τε πατέρας. εἰ δὲ τοὺς λελειμμένους
σὺ συμπυρώσας δαῖτ᾽ ἀναλώσεις πικράν,
ποῖ τρέψεταί τις; ἀλλ᾽ ἐμοὶ πιθοῦ, Κύκλωψ·
πάρες τὸ μάργον σῆς γνάθου, τὸ δ᾽ εὐσεβὲς

---

290. ναῶν] Canterus, νεῶν codex. 291. ἐρρυσάμεσθα] Matthiae, εἰρυσάμεσθα codex. 292. ἱερός] corrector apogr. Paris., ἱερεύς codex. 293. Μαλέας] Musurus, μαλέα codex. 297. κοινοῖ] Seidlerus, κοινοῦ codex. 299. νόμος] Musgravius, νόμοις codex. εἰ] Musgravius, εἰς codex.